*ἰώ μοι πόνων,*
*ἰὼ Ζεῦ, ἰὼ γᾶ,*
*ὁμογενῆ δέραν, ὁμογενῆ ψυχὰν*
*δι᾽ ἀσπίδων, δι᾽ αἱμάτων;*
*τάλαιν᾽ ἐγὼ τάλαινα,*
*πότερον ἄρα νέκυν ὀλόμενον ἰαχήσω;*
*φεῦ δᾶ φεῦ δᾶ,* antistr.
*δίδυμοι θῆρες, φόνιαι ψυχαὶ*
*δορὶ παλλόμεναι*
*πέσεα πέσεα δάι᾽ αὐτίχ᾽ αἱμάξετον.*
*τάλανες, ὅ τι ποτὲ μονομάχον ἐπὶ φρέν᾽ ἠλθέτην,*
*βοᾷ βαρβάρῳ*
*ἰαχὰν στενακτὰν*
*μελομέναν νεκροῖς δάκρυσι θρηνήσω.*
*σχεδὸν τύχα πέλας φόνου·*
*κρινεῖ φάος τὸ μέλλον.*
*ἄποτμος ἄποτμος ὁ φόνος ἕνεκ᾽ Ἐρινύων.*
*ἀλλὰ γὰρ Κρέοντα λεύσσω τόνδε δεῦρο συννεφῆ*
*πρὸς δόμους στείχοντα, παύσω τοὺς παρεστῶτας γόους.*

ΚΡ. *οἴμοι, τί δράσω; πότερ᾽ ἐμαυτὸν ἢ πόλιν*
*στένω δακρύσας, ἣν πέριξ ἔχει νέφος;* 1311
*ἐμός τε γὰρ παῖς γῆς ὄλωλ᾽ ὑπερθανών,* 1313
*τοὔνομα λαβὼν γενναῖον, ἀνιαρὸν δ᾽ ἐμοί·*
*ὃν ἄρτι κρημνῶν ἐκ δρακοντείων ἑλὼν*
*αὐτοσφαγῆ δύστηνος ἐκόμισ᾽ ἐν χεροῖν,*
*βοᾷ δὲ δῶμα πᾶν· ἐγὼ δ᾽ ἥκω μετὰ*
*γέρων ἀδελφὴν γραῖαν Ἰοκάστην, ὅπως*
*λούσῃ προθῆταί τ᾽ οὐκέτ᾽ ὄντα παῖδ᾽ ἐμόν.*
*τοῖς γὰρ θανοῦσι χρὴ τὸν οὐ τεθνηκότα*

---

*τοιοῦτον ὥστε δι᾽ Ἀχέροντος ἰέναι* 1312

---

1301 seq. *στενακτάν* om. ABF *ἰαχὰν στενακτάν* bc *στενακτὰν ἐπὶ φρέν᾽ ἠλθέτην βοᾷ βαρβάρῳ ἰαχάν C* 1302. *νεκρῶν* bc *C* 1306. *ἐριννύων* EF 1307. *δεῦρο* om. *C* 1309. *λόγοις* B 1319. *λούσῃ γρ. κλαύσῃ* A *κλαύσῃ C λούσῃ* ceteri.